‛ὀρθῶς’ ἔφην ἐγώ ‛λέγεις, ἄριστε Σαραπίων· οὐδὲ γὰρ φιλοσοφίαν ἀπογιγνώσκομεν ὡς ἀνῃρημένην παντάπασι καὶ διεφθορυῖαν, ὅτι πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους, ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ Παρμενίδης καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς [καὶ Θαλῆς], ὕστερον δ’ ἐπαύσαντο καὶ πέπαυνται
F χρώμενοι μέτροις πλὴν σοῦ· διὰ σοῦ δ’ αὖθις εἰς φιλοσοφίαν ποιητικὴ κάτεισιν ὄρθιον καὶ γενναῖον ἐγκελευομένη τοῖς νέοις. οὐδ’ ἀστρολογίαν ἀδοξοτέραν ἐποίησαν οἱ περὶ Ἀρίσταρχον καὶ Τιμόχαριν καὶ Ἀρίστυλλον καὶ Ἵππαρχον καταλογάδην γράφοντες, ἐν μέτροις πρότερον Εὐδόξου
403 καὶ Ἡσιόδου καὶ Θαλοῦ γραφόντων, | εἴ γε Θαλῆς ἐποίησεν ὡς ἀληθῶς εἰπεῖν ⟨τὴν⟩ εἰς αὐτὸν ἀναφερομένην Ἀστρολογίαν. Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ’ αὐτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζειν ὅτι .... οὐδὲν γάρ ἐστι δεινὸν οὐδ’ ἄτοπον αἰτίας ζητεῖν τῶν τοιούτων μεταβολῶν· ἀναιρεῖν δὲ τὰς τέχνας καὶ τὰς δυνάμεις, ἄν τι κινηθῇ καὶ παραλλάξῃ τῶν κατὰ ταύτας, οὐ δίκαιον.’

**19.** ‛Υπολαβὼν δ’ ὁ Θέων ‛ἀλλὰ ταῦτα μέν’ εἶπε ‛μεγάλας ἔσχηκε τῷ ὄντι παραλλαγὰς καὶ καινοτομίας· τῶν δ’ ἐνταῦθα ⟨χρησμῶν οἶσθα⟩ πολλοὺς καὶ τότε καταλογάδην ἐκφερομένους καὶ περὶ πραγμάτων οὐ τῶν τυχόν-
B των· Λακεδαιμονίοις τε γάρ, ὡς Θουκυδίδης ἱστόρηκε, περὶ τοῦ πρὸς Ἀθηναίους πολέμου χρωμένοις ἀνεῖλε νίκην καὶ κράτος, καὶ βοηθήσειν αὐτὸς καὶ παρακαλούμενος καὶ ἀπαράκλητος· καὶ Παυσανίαν εἰ μὴ καταγάγοιεν ‛ἀργυρέᾳ ⟨εὐλάκᾳ⟩ εὐλάξειν’. Ἀθηναίοις δὲ περὶ τῆς ἐν Σικελίᾳ